Εὐχὴ τοῦ ἐν ἁγίοις πατρὸς ἡμῶν Ἰωάννου τοῦ Χρυσοστόμου πρὸς τὸν Κύριον ἡμῶν Ἰησοῦν Χριστὸν

1. Κύριε, μὴ στερήσῃς με τῶν ἐπουρανίων σου καὶ αἰωνίων ἀγαθῶν.
2. Κύριε, λύτρωσαί με τῶν αἰωνίων κολάσεων.
3. Κύριε, εἴτε λόγῳ, εἴτε ἔργῳ, εἴτε κατὰ νοῦν καὶ διάνοιαν ἥμαρτον, συγχώρησόν μοι.
4. Κύριε, λύτρωσαί με ἀπὸ πάσης ἀνάγκης καὶ ἀγνοίας καὶ λήθης καὶ ῥαθυμίας καὶ τῆς λιθώδους ἀναισθησίας.
5. Κύριε, λύτρωσαί με ἀπὸ παντὸς πειρασμοῦ καὶ ἐγκαταλείψεως.
6. Κύριε, φώτισον τὴν καρδίαν μου, ἣν ἐσκότισεν ἡ πονηρὰ ἐπιθυμία.
7. Κύριε, ἐγὼ μέν ὡς ἄνθρωπος ἁμαρτάνω, σὺ δὲ ὡς Θεὸς ἐλέησόν με.
8. Κύριε, ἴδε τὴν ἀσθένιαν τῆς ψυχῆς μου, καὶ πέμψον τὴν χάριν σου εἰς βοήθειάν μου, ἵνα ἐν ἐμοὶ δοξασθῇ τὸ ὄνομά σου τὸ ἅγιον.
9. Κύριε, Ἰησοῦ Χριστέ, ἔγγραψον τὸ ὄνομα τοῦ δούλου σου ἐν βίβλῳ ζωῆς, χαριζόμενός μοι καὶ τέλος ἀγαθόν.
10. Κύριε ὁ Θεός μου, οὐκ ἐποίησα οὐδὲν ἀγαθόν ἀλλ᾽ ἀρξαίμην ποτὲ τῇ εὐσπλαγχνίᾳ σου.
11. Κύριε, βρέξον εἰς τὴν καρδίαν μου τὴν δρόσον τῆς χάριτός σου.
12. Κύριε, ὁ Θεὸς τοῦ οὐρανοῦ καὶ τῆς γῆς, μνήσθητί μου τοῦ ἁμαρτωλοῦ, τοῦ αἰσχροῦ, τοῦ πονηροῦ καὶ βεβήλου κατὰ τὸ μέγα ἔλεός σου, ὅταν ἔλθῃς ἐν τῇ βασιλείᾳ σου.
13. Κύριε, ἐν μετανοίᾳ με παράλαβε καὶ μὴ ἐγκαταλείπῃς με.
14. Κύριε, μὴ εἰσενέγκῃς με εἰς πειρασμόν.
15. Κύριε, δός μοι ἔννοιαν ἀγαθήν.
16. Κύριε, δός μοι δάκρυον καὶ μνήμην θανάτου καὶ κατάνυξιν.
17. Κύριε, δός μοι τῶν λογισμῶν μου ἐξαγόρευσιν.
18. Κύριε, δός μοι ταπείνωσιν, ἐκκοπὴν θελήματος καὶ ὑπακοήν.
19. Κύριε, δός μοι ὑπομονήν, μακροθυμίαν καὶ πραότητα.
20. Κύριε, ἐμφύτευσον ἐν ἐμοὶ τὴν ῥίζαν τῶν ἀγαθῶν, τὸν φόβον σου.
21. Κύριε, ἀξίωσόν με ἀγαπᾶν σε ἐξ ὅλης μου τῆς ψυχῆς καὶ τῆς διανοίας καὶ τῆς καρδίας καὶ τηρεῖν ἐν πᾶσι τὸ θέλημά σου.
22. Κύριε, σκέπασόν με ἀπό τε ἀνθρώπων πονηρῶν καὶ δαιμόνων καὶ παθῶν, καὶ ἀπὸ παντὸς μὴ προσήκοντος πράγματος.
23. Κύριε, ὡς κελεύεις. Κύριε, ὡς γινώσκεις. Κύριε ὡς βούλει, γενηθήτω τὸ θέλημά σου ἐν ἐμοί.
24. Κύριε, τὸ σὸν θέλημα γενέσθω καὶ μὴ τὸ ἐμόν˙ πρεσβείαις καὶ ἱκεσίαις τῆς Παναγίας Θεοτόκου καὶ πάντων τῶν ἁγίων σου˙ ὅτι εὐλογητὸς εἶ εἰς τοὺς αἰῶνας. Ἀμῆν.

—St. Nektarios Monastery—
Roscoe, NY 12776